ἐϲτὶν πένηϲ γεωργόϲ, οὐχ οὗτοϲ μόνοϲ,
ϲχεδὸν δ' ἅπαντεϲ. ἀλλ' ἕωθεν αὔριον
ἐγὼ πρόϲειμ' αὐτῶι μόνοϲ, τὴν οἰκίαν
ἐπείπερ οἶδα. νῦν δ' ἀπελθὼν οἴκαδε
καὶ ϲὺ διάτριβε· τοῦτο δ' ἕξει κατὰ τρόπον.
(Πυ.) πράττωμεν οὕτωϲ.
Ϲω. πρόφαϲιν οὗτοϲ ἄϲμενοϲ
εἴληφεν· εὐθὺϲ φανερὸϲ ἦν οὐχ ἡδέωϲ
μετ' ἐμοῦ βαδίζων οὐδὲ δοκιμάζων πάνυ
τὴν ἐπιβολ]ὴν τὴν τοῦ γάμου. κακὸν δὲ ϲὲ
κακῶϲ ἅπ]αντεϲ ἀπολέϲειαν οἱ θεοί,
μαϲτιγία.]
[Πυ.] τί δ'] ἠδίκηκα, Ϲώϲτρατε;
(Ϲω.) κακῶϲ ἐπό]ειϲ τὸ χωρίον τι δηλαδή.
[Πυ.] οὐ μὰ Δί'] ἔκλεπτον.
(Ϲω.) ἀλλ' ἐμαϲτίγου ϲέ τιϲ
οὐδὲν ἀδικοῦντα;
(Πυ.) καὶ πάρεϲτί γ' οὑτοϲί
αὐτὸϲ—ὑπάγω, βέλτιϲτε. ϲὺ δὲ τούτωι λάλει.
(Ϲω.) οὐκ ἂν δυναίμην· ἀπίθανόϲ τιϲ εἴμ' ἀεὶ
ἐν τῶι λαλεῖν. ποῖον λέγει[ ]νι;
οὐ πάνυ φιλάνθρωπον β[λέπειν μ]οι φαίνεται,
μὰ τὸν Δί'· ὡϲ δ' ἐϲπούδακ'. ἐ[πανάξ]ω βραχὺ
ἀπὸ τῆϲ θύραϲ. βέλτιον. ἀλλὰ κ̣[αὶ β]οᾶι
μόνοϲ βαδίζων. οὐχ ὑγιαίνειν μοι δοκεῖ.